τελεῖται γένεσις, ἀλλ' οὐ καθ' ἑαυτὸ καὶ πρώτως. Τέταρτον οὐκ εἰσὶ πρῶτα ἃ γίγνεται ἐξ ἄλλων. Τὸ γὰρ ὑγρὸν καὶ ξηρὸν ὑπὸ τοῦ θερμοῦ καὶ ψυχροῦ ἐφ' ὅτι περιάγεται ὡς ὁ αὐτὸς Φιλόσοφος διδάσκει, Τετάρτῳ περὶ μετεωρολογικῶν περὶ τὴν ἀρχὴν, λέγει γὰρ ὅτι τὸ θερμὸν καὶ ψυχρὸν ποιητικά εἰσιν ὑγρότητος καὶ ξηρότητος, ὃ καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ πέμπτου περὶ γενέσεως ζώων ὁμολογεῖ. πρόσθες ὅτι εἰ ποιητικαὶ μὲν αἱ δύο, παθητικαὶ δὲ αἱ δύο, πρότεραι τῶν παθητικῶν ἔσονται αἱ ποιητικαί. ἀεὶ γὰρ ὡς λέγεται τρίτῳ περὶ ψυχῆς μορίῳ ιθ'. τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος, καὶ ἡ ἀρχὴ τῆς ὕλης, καὶ γὰρ ἡ ἐνέργεια προτέρα τοῦ πάθους, καὶ τοῦ δυνάμει ὄντος ἡ ἐντελέχεια ἐκ τοῦ θ'. τῆς πρώτης Φιλοσοφίας, ὥστε οὐκ ὀρθῶς ἴσα λέγονται πᾶσαι. πρὸς δὲ ταῦτα φαμὲν ὅτι τὸ θερμὸν καὶ ψυχρὸν κατὰ συμβεβηκὸς γίγνεται περιακτικὰ τοῦ ὑγροῦ καὶ ξηροῦ, ἐξάγοντα τὴν ἐν τῷ πάσχοντι ἰκμάδα. Ἢ τῇ τοῦ θερμοῦ ἐξωθήσει συναποβαλλομένου τοῦ ξηροῦ, ὅτι δὲ τιμιώτεραι τῶν παθητικῶν αἱ ποιητικαὶ ποιότητες συγκεχωρείσθω. οὐ μὴν ἐκ τούτου ἕπεται ἑκατέραν ἑκατέρας ἡγεῖσθαι τῇ τῆς γενέσεως τάξει. Πέμπτον οὐκ ὀρθῶς αἱ τοιαῦται ἐναντιώσεις πασῶν τῶν ἐν τῷ θνητῷ σώματι ποιοτήτων πρῶται λέγονται. Τὸ γὰρ φῶς καὶ τὸ διαφανὲς, καὶ τὸ ἀδιαφανὲς οὐ μόνον πρότερα τούτων εἰσὶν, ἀλλὰ καὶ κοινότερα ὁμοῦ τοῖς οὐρανίοις προσόντα σώμασι καὶ τοῖς ὑπὸ Σελήνην. Ἀλλ' ὅμως οὐκ ἀληθῆ ταῦτα. Τὸ μὲν γὰρ ἐν αἰθέρι φῶς, ἢ διαφανὲς πρότερον μὲν ἐστιν, ἀλλ' οὐχ ἁπτόν. οὐδὲ πρόσεστι τῷ ἐν γενέσει σώματι, ὅσα δὲ ἐν ἡμῖν φωτεινὰ καὶ διαφανῆ, ταῦτα ταῖς πρώταις ἐπακολουθεῖ ποιότησιν, ὡς ἐν τοῖς περὶ ψυχῆς εἰρήσεται.

## ΚΕΦΑΛΑΙΟΝ, ΔΕΥΤΕΡΟΝ.

### Πότερον τὸ ψυχρὸν καὶ ξηρὸν στερήσεις εἰσίν;

Τινὲς μὲν οὖν ἀναιρεῖν βουλόμενοι τὸν ἐν ταῖς ποιότησι τετραδικὸν ἀριθμὸν, τὸ ψυχρὸν καὶ ξηρὸν στερήσεις εἶναι μόνον ἀποδεικνύναι πειρῶνται, μάρτυρα παρεχόμενοι τὸν Φιλόσοφον εἰ καὶ τοῦτο οὐ μόνον ψυχρότης, ἀλλὰ καὶ βαρύτης ἐν τῷ δευτέρῳ περὶ οὐρανοῦ μορίῳ ιη. στερήσεις λέγονται οὐχ ἁπλῶς, ἀλλὰ πρὸς τὴν τῆς θερμότητος καὶ κουφότητος ὑπεροχὴν ἀναφερόμεναι. ὥσπερ καὶ τὸ μέλαν πρὸς τὸ λευκὸν στέρησις λέγεται δεκάτῳ τῶν μετὰ τὰ Φυσικὰ μορίῳ κβ'. μάλιστα δὲ περὶ



ΙΩΑΝΝΙΝΑ 2006

γενέσεως καὶ φθορᾶς μορίῳ λβ΄. στέρησιν ἀποφαίνεται τὸ ἕτερον τῶν ἐναντίων, καὶ τὸ αὐτὸ τετάρτῳ Μεταφυσικῶν μορίῳ κζ΄. ἐπιβεβαιοῖ. ὅθεν ἵνα μή τις τὰ τοιαῦτα στερήσεις νομίσῃ ψιλὰς δεκάτῳ τῶν Μεταφυσικῶν μορίῳ νϛ΄. δῆλον μέν φησιν ὅτι ἡ μὲν ἐναντίωσις στέρησις εἴη πᾶσα, στέρησις δὲ οὐ πᾶσα ἐναντίωσις, ὡσανεὶ εἴποι ὅτι πάσης μὲν ἐναντιότητος θάτερον μέρος λόγον ἔχει στερήσεως. Τὸ γὰρ ἀτελέστερον τῇ πρὸς τὸ τέλειον σχέσει, στέρησις εἰκότως ἀποκαλεῖται, οὐ μήν γε πᾶσα στέρησις ἐναντίωσις. Ἡ γὰρ κυρίως στέρησις, ἔλλειψις μόνον ἐστὶν, ἀλλ' οὐδὲ ἐναντίωσις οὐδὲ φύσις, ὅμως οὐδὲν ἧττόν εἰσιν οἵτινες τὴν ψυχρότητα καὶ ξηρότητα ἐλλείψεις οἴονται θερμότητος καὶ ὑγρότητος, καὶ τό γε δοκοῦν ὄντα λέγουσιν, ὥστε καὶ αὐτῆς ἀπολείπεσθαι τῆς στερήσεως. Αὕτη γὰρ ἀεὶ ἕξει τινὶ συνέζευκται, ὅθεν καὶ εἶδός πως λέγεται δευτέρῳ Φυσικῶν. καὶ ἀρχὴ τέτακται τῆς γενέσεως, καίτοι καθ' ἑαυτὸ μηδὲν οὖσα. ὡς ἐν τῷ περὶ μερῶν ζώων λέγεται, ἀδύνατον τὴν στέρησιν εἶναι διαφοράν. λόγοις δὲ εἰς ἐμπέδωσιν τοῦ λεγομένου χρῶνται τοιούτοις. καὶ περὶ μὲν τὸ ψυχρὸν, ὅτι ἐν τῷ τεταρταίῳ πυρετῷ ψυχρότητος ἡ παροξυνόμενοι αἰσθάνονται. καίτοι μηδεμιᾶς οὔσης τοιαύτης ποιότητος ἐν τοῖς ζῶσιν. ἀλλ' ὅτι τῆς θερμότητος ὑποδυούσης εἰς τὴν καρδίαν, ταύτης στερούμενον τὸ δέρμα τῆς τοῦ θερμοῦ στερήσεως ὡς ψυχρότητος ἀντιλαμβάνεται. περὶ δὲ τὸ ξηρὸν ὅτι ἀδύνατόν ἐστιν ὑγρανθῆναι, στέρησις γάρ ἐστι φασὶ τῆς ὑγρότητος, ἀπὸ δὲ τῆς στερήσεως οὐ δίδοται ἐπάνοδος εἰς τὴν ἕξιν, καὶ ταῦτα μὲν οὗτοι ληροῦσιν, ἀλλ' εἰ καὶ εὔηθες ὡς ἐν τῷ πρώτῳ λέγεται περὶ μερῶν τὸ τὰς εὐήθεις τῶν λόγων λίαν ἐξετάζειν, ἀλλ' ὅμως οὐ δεῖ οὐδὲ τὴν τοιαύτην εὐήθειαν ὅλως ἀτιμώρητον παρεάσαι. Πρῶτον μὲν οὖν καὶ αὐτὸς ὁ Φιλόσοφος κατὰ λέξιν εἴρηκεν ἐν τῷ Δευτέρῳ περὶ μερῶν, ὅτι τὸ ψυχρὸν φύσις ἐστὶ καὶ οὐ στέρησις. καὶ κατωτέρω εἰπών. ἡ δὲ ψύξις στέρησις, χρῆται δὲ ἀμφοτέροις ἡ φύσις προσέθετο, ἵνα ἴσα τὸ θερμῷ τὸ ψυχρὸν ὄργανον εἶναι δηλώσῃ τῆς Φύσεως, πρόσθες ὅτι εἰ δύο εἰσὶν αἱ ποιότητες δύο ἂν ἦσαν καὶ τὰ στοιχεῖα. Ἔτι δὲ οὐδεμία στέρησις ποιητικὴ, τὸ δὲ ψυχρὸν καὶ ξηρὸν δραστικά εἰσιν εἰς τἀναντία, καὶ ταῦτα εἰς ἑαυτὰ μεθίστησιν. οἷς δὲ χρῶνται σημείοις εὐλόγως ἀπαντήσειεν ἄν τις, ἐπὶ μὲν γὰρ τὸν πυρετὸν ποῖ μὲν ὅτι συρρεῖ πρὸς τὴν καρδίαν τὰ πνεύματα, ποῖ δὲ ὅτι τὸ φλέγμα οἷον ἀφρωθὲν καὶ λεπτυνθὲν εἰς τὸ πέριξ διαβαίνει ἀσθενὲς γινόμενον, τὸ ἐν τῷ δέρματι θερμὸν τοῦ ψυχροῦ αἰσθάνεται καὶ πάσχει θᾶττον ὑπὸ τούτου. ἐπὶ δὲ τῆς τῶν ξηρῶν ὑγράνσεως ἐπ' ἐνίων μὲν, καὶ μάλιστα ἐπὶ τῶν ζώων τὸν τύπον μαρασμὸν ἀνίατον φαμὲν, οὐχ ὅτι μόνον τὸ ξηρὸν ὥς φασι δυσκόλως ὑγραίνεται, ἀλλ' ὅτι οἱ μὲν πόροι συμμεμυκότες οὐ

προσ-

προσδέχονται τὸ προσιὸν ὑγρόν. Τὸ δὲ θερμὸν ἀσθενὲς ὂν οὐ μεταβάλλει. Τελευταῖον ὅτι τὸ προσελθὸν πολὺ τῆς τοῦ ἀπορρεύσαντος ὑγροῦ λείπεται τελειότητος. Ἐπὶ δὲ τῶν κατὰ φύσιν ξηρῶν καὶ ὑγρῶν ἴσα γίγνεται θᾶττον ἡ εἰς ἄλληλα μεταβολή. πρόσθες ὅτι ἀσύμφωνα συμπεραίνουσιν οὗτοι, ἐπειδὴ γάρ φασι στέρησίς ἐστι τὸ ξηρὸν οὐ ῥᾳδίως ὑγραίνεται τὰ ξηρά. ἀλλὰ δέοι αὖ εἰπεῖν ὅτι τὰ ξηρὰ ταχύτερον ὑγραίνεται στέρησιν ἔχοντα τοῦ ὑγροῦ, ἡ γὰρ ξηρότης ἐν τῇ πρώτῃ ὕλῃ ὑπάρχει, ἡ δὲ πρώτη ὕλη τῇ στερήσει μᾶλλον ἐστὶ δεκτική, ἀλλὰ περὶ τούτων καὶ ταῦτα ἴσως ἔσται πλείω τῶν εἰκότων.

# ΚΕΦΑ'ΛΑΙΟΝ, ΤΡΙ'ΤΟΝ.

## Πότερον αἱ δεύτεραι ποιότητες τιμιώτεραι τῶν πρώτων.

ΟἹ μὲν οὖν τιμιωτέρας οἴονται καθάπερ τὰς προτέρας ποιότητας τῶν μετ' αὐτάς. Τὸ γὰρ αἴτιόν φασι τιμιότητι διαφέρει τοῦ ἀποτελέσματος, καὶ μάλιστα εἰ τύχοι [ὁμώνυμον], οἷον τὸ φῶς τῆς θερμότητος. ἀλλὰ μὴν αἱ πρῶται ποιότητες τῶν ἐξ αὐτῶν αἰτίαι εἰσὶν ὁμώνυμοι, ἄρα τιμιώτεραι. Ἔτι δὲ ἀδύνατον τούτοις φαίνεται ὑπερφέρειν τῶν αἰτίων τὰ αἰτιατά, οὐδὲν γάρ φασι δρᾷ πέρα τῆς ἑαυτοῦ δυνάμεως, ἀλλ' ὅμως ὡς ἡ κοινὴ τῶν ἀνθρώπων ὑπόληψις μαρτυρεῖ πολλαὶ τῶν δευτέρων ποιοτήτων ὑπερτεροῦσι τῇ ἀξίᾳ τῶν πρώτων, ὡς καὶ αὐτὸς ὁ Φιλόσοφος παρεγγυᾶται, δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ ζ'. ἔνθα τῆς ἁφῆς προτέραν φασὶ τὴν ὄψιν, ὥστε καὶ τὸ ὑποκείμενον ταύτης τῶν ἁπτῶν ποιοτήτων. Τὸ δὲ πρότερον ἢ κατ' ἀξίαν ἢ κατὰ φύσιν, οὐ μέντοι κατὰ γένεσιν προτέρα ἡ ὄψις τῶν ἄλλων αἰσθήσεων, ἄρα κατὰ τὴν ἀξίαν. Ἔτι δὲ ὀγδόῳ Φυσικῶν μορίῳ νη'. καὶ δευτέρῳ περὶ μερῶν ζῴων τὰ πρότερα κατὰ γένεσιν ὕστερά φησι κατ' ἀξίαν. ἐξ ὧν φανερὸν γίγνεται, ὅτι αἱ πρῶται ποιότητες κατὰ μὲν τὴν τῆς φύσεως τάξιν οὐδεμιᾶς ὑστεροῦσι ποιότητος, ἀλλ' ἀμέσως συνάπτονται τῇ ὕλῃ. Αἱ δὲ μετ' αὐτὰς ἀπωτέρω τῆς ὕλης τυγχάνουσαι μᾶλλον ἐπαίρονται τῇ ἀξίᾳ. Ἔτι δὲ κοινῇ τῶν ἐν τῷ περιπάτῳ ψήφῳ τὰ τῶν μικτῶν εἴδη τῶν ἐν τοῖς ἁπλοῖς σώμασι εἰδοποιῶν διαφορῶν πλεῖστον ὅσον ὑπερανέχουσιν, ἄρα καὶ ὅσαι τοῖς εἴδεσι τῶν μικτῶν παρομαρτοῦσι ποιότητες ὑπερβαλλόντως διοίσουσι τιμιότητι τῶν ἐν τοῖς στοιχείοις. ταῦτα δὲ καὶ τῇ πρώτῃ ὕλῃ συνά-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Απ. Κ. ΙΩΑΝΝΙΝΑ 2006

δειν ἔοικεν, ἐπειδὴ γὰρ τῶν ὄντων ἁπάντων ἐστὶν ἀτελέστατον σχῆμα εὐλόγως κατὰ μικρὸν ἐπὶ τὰ τελεώτερα πρόεισι τῶν εἰδῶν οἷον ἀποξενουμένη τοῖς ἀτελέσιν εἴδεσι καὶ διατιθεμένη τῷ ἡγουμένῳ εἰς τὴν τοῦ μέλλοντος ὑποδοχήν. Τελευταῖον ὅσα λόγον ἔχει ὕλης τοῦ εἴδους ἀπολείπεται πολλῷ διαλήμματι. ἀλλαμὴν αἱ πρῶται ποιότητες ὕλης ἔχουσι λόγον ἐν τοῖς μικτοῖς, ἄρα τούτων ἀτιμώτεραι εὐλόγως νομίζονται. πρὸς δὲ τοὺς ἀντιφερομένους λόγους ῥάδιον ἀπαντήσωμεν δύω ταῦτα ἐνεγκόντες εἰς μνήμην, ὅτι αἰτίαι μὲν αἱ πρῶται ποιότητες τῶν μετ᾽ αὐτὰς, μὴ μέντοι διῃρημέναι ἀλλὰ συνοδεύσασαι, καὶ εἰς ἓν συνελθοῦσαι, ὥστε μὴ παράδοξον εἶναι εἰ παρὰ τῶν τεττάρων ἅμα λαμβανομένων ἐνδέχεταί τι γενέσθαι ἑκάστης τούτων κρεῖττον. Δεύτερον ὅτι οὐ μόνον αἱ πρῶται ποιότητες ἀρχαὶ τῶν μικτῶν. ἀλλὰ τό, τε εἶδος καὶ ἡ φύσις ἑκάστου ἥτις χρῆται ταῖς ποιότησι, καὶ τὰ οὐράνια σώματα ἃ κινήσει καὶ φωτὶ διοικοῦσι τὸ θνητὸν σῶμα, καὶ ὡς ὕλη χρώμενα τοῖς στοιχείοις τιμιώτερά τε καὶ τελεώτερα τούτων ἀποτελοῦσι πάμπολλα, ὡς ὁ Ἀλέξανδρος πρώτῳ περὶ Φυσικῶν ἀποριῶν καὶ λύσεων κεφ. γ΄.

## ΚΕΦΑ'ΛΑΙΟΝ, ΤΕ'ΤΑΡΤΟΝ.

### Ὀνομασίαι διάφοροι τῶν πρώτων ποιοτήτων.

Ὅσοις ἐνδέχεται τρόποις θεωρεῖσθαι τὰς πρώτας ποιότητας τοσαῦτα ταύταις ὀνόματα ἐπιτέθεινται. Πρῶτον μὲν οὖν στοιχεῖα λέγονται παρὰ τοῦ Φιλοσόφου δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ ις΄. διότι καθάπερ αὐτολεξί φησιν ἐκ τῶν συζεύξεων αὐτῶν τεττάρων οὐσῶν ἡ τετρὰς γίγνεται τῶν στοιχείων. Ἔτι δὲ ὅτι δι᾽ αὐτὰς ταύτας στοιχεῖα καλεῖται τὰ ἁπλᾶ σώματα. καὶ τρίτον ὅτι ἀρχαί εἰσιν ἐν ὕλης λόγῳ τῶν μικτῶν ἁπάντων, ἀρχῇ δὲ πάσῃ τὸ τοιοῦτον ὄνομα προσήκειν ὁμολογεῖται. Δεύτερον ἐν ἀρχῇ τοῦ δ΄. τῶν μετεωρολογικῶν αἴτια λέγεται τῶν στοιχείων. Ἐπειδὴ γὰρ τὰ ἁπλᾶ σώματα στοιχεῖα λέγονται ᾗ ἐξ ἐνυπαρχόντων τούτων γίγνεται τὰ μικτὰ, αἱ δὲ πρῶται ποιότητες τὸ μίγνυσθαι πεφυκέναι παρέχονται τοῖς στοιχείοις τῶν ἁπλῶν σωμάτων εἰκότως αἴτια λέγονται. ὡς ἅτε δὴ προξενοῦντα τούτοις τὸ εἶναι καὶ λέγεσθαι στοιχεῖα. Τρίτον ὥς ἐστιν ἰδεῖν ἐν τῷ δευτέρῳ περὶ μερῶν κεφ. β. ἀρχαὶ λέγονται τῶν στοιχείων; ὅτι τε εἰδοποιοί εἰσι διαφοραὶ καὶ συστατικαὶ τούτων, καὶ ὅτι διὰ ταύτας ποιητικὰ καὶ παθητικὰ ὑπάρ-

χει.

ΙΩΑΝΝΙΝΑ 2006

χει. Τέταρτον ἐν τῷ β. περὶ γενέσεως καὶ φθορᾶς μορίῳ κβ'. πάθη τῶν στοιχείων ὀνομάζονται οὐχ ὅτι συμβεβηκότα εἰσὶ καθάπερ ἔνιοι νομίζουσιν, ἀλλ' ἢ ὅτι κατ' αὐτὰς ἀλλοιοῦται τὰ στοιχεῖα, λέγεται γὰρ πέμπτῳ τῶν μετὰ τὰ Φυσικὰ μορίῳ ιδ'. ὅτι θερμότης ψυχρότης καὶ τὰ τοιαῦτα πάθη εἰσὶ καθ' ἃς ἀλλοιοῦται τὰ σώματα. Ἢ ὅτι πάθος εἴρηται κοινότερον ὅ, τι ἂν ἔχοι ποιότητος λόγον. Πέμπτον ἁπταὶ λέγονται ἤτοι κατὰ τὴν ἀφὴν δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ η. καὶ γὰρ αὗται ποιοῦσι τὰ ἁπλᾶ σώματα αἰσθητὰ καὶ ἁπτά. Ἕκτον ἐν τῷ αὐτῷ μορίῳ πρῶται καλοῦνται ἐναντιώσεις καὶ πρῶται ἐναντία ὅτι κατ' αὐτὰς ἀλλήλοις ἀντιμάχεται τὰ στοιχεῖα. Ἕβδομον πρῶται διαφοραὶ λέγονται τῶν ὑπὸ Σελήνην, ὅτι αὗται κατὰ πρώτην τομὴν διαστέλλουσι τὰ ποιὰ σώματα. Ὄγδοον ὄργανα λέγονται, χρῆται γὰρ αὐτοῖς ἡ φύσις εἰς τὰς τῶν μικτῶν οἰκοδομάς. Ἔννατον διαθέσεις εἴρηνται τοῖς πολλοῖς, καθ' ἃ τὴν ὕλην διατιθέασιν εἰς ὑποδοχὴν ἑτέρων εἰδῶν. Τελευταῖον ὡς λέγεται δευτέρῳ περὶ μερῶν ζώων κεφ. α. εὐλόγως ἀκούσιν ὕλαι. ἐν γὰρ τῷ συνθέτῳ ἐν ὕλης ἐνυπάρχουσι λόγῳ. Τοσούτων οὖν καὶ τοιούτων ὄντων τῶν ὀνομάτων οἷς αἱ πρῶται καλοῦνται ποιότητες εἰκότως ἀπορήσειεν ἄν τις πῶς ἐνδέχεται τὰ αὐτὰ καὶ ἀρχὰς λέγεσθαι καὶ πάθη τῶν στοιχείων, αἱ μὲν γὰρ ἀρχαὶ ἡγοῦνται, ἕπεται δὲ τὰ πάθη. τὸ δ' αὐτὸ ἕπεσθαι καὶ ἡγεῖσθαι ἄτοπον. Ἔτι δὲ ἀμφισβητήσιμον τῷ τρόπῳ αἱ ποιότητες στοιχεῖα λέγονται, τὸ γὰρ στοιχεῖον ὁμογενὲς ὀφείλει εἶναι τῷ οὗ ἐστι στοιχεῖον, αἱ δὲ ποιότητες καὶ τὰ ἁπλᾶ σώματα ἐν ἑτέροις γένεσι πίπτονται. διὰ δὴ τοῦτο καὶ ὁ Γαληνὸς ἅπτεται τοῦ Φιλοσόφου ἐν τῷ περὶ στοιχείων κεφ. ς'., ὡς οὐκ ὀρθῶς εἰπόντος στοιχεῖα τὰς ποιότητας. Εἰς ἐπίλυσιν οὖν τῆς πρώτης ἐνστάσεως ὅτι αἱ πρῶται ποιότητες ἀρχαὶ εἰσὶ, καὶ ὕλη καὶ πάθη, καίτοι ὡς ἀρχὰς μὲν ἡγεῖσθαι χρεὼν, συνεῖναι δὲ ὡς ὕλην, καὶ ὡς πάθη παρέπεσθαι, ῥητέον ἀρχὰς μὲν εἶναι ὡς εἰδοποιοὺς διαφορὰς, πάθη δὲ ὡς ποιότητας, ὕλην δὲ ἀναφερομένας πρὸς τὸ τοῦ μικτοῦ εἶδος. ὅθεν οὐκ ἄτοπον πάθη καὶ ἀρχὰς ἅμα λέγεσθαι, ἐκεῖνα γὰρ τῶν παθῶν ἕπεσθαί φασιν ἃ συμβεβηκότος ἔχει λόγον. αἱ δὲ πρῶται ποιότητες ἐν τοῖς ἁπλοῖς σώμασιν οὐκ εἰσὶ συμβεβηκὸς, ἔτι δὲ αἱ πρῶται ποιότητες εἰκότως στοιχεῖα λέγονται καὶ ὁ τοῦ Πλάτωνος πείθει λόγος ἐν οἷς τὰ σχήματα ἀρχὰς τιθέμενος τῶν ἁπλῶν σωμάτων ταῦτα στοιχεῖα καλεῖ. ὃ δὲ προστιθέασιν ὅτι τὰ στοιχεῖα ὁμογενῆ ὀφείλουσιν εἶναι τοῖς ἐξ αὐτῶν συνεστηκόσι κομιδῇ ψευδὲς εἰ περὶ τὸ προσεχὲς ἀνακρίνονται γένος. μᾶλλον γὰρ ὅ, τι ἂν ἀρχῆς ἐνδογενοῦς ἔχει λόγον τοῦτο στοιχεῖον εἰκότως ὀνομαζέσθω. ὡς ἑβδόμῳ τῆς πρώτης Φιλοσοφίας μορίῳ ξ'. λέγεται, εἰ

καὶ μὴ ἐν τῇ αὐτῇ τάξει τέτακται κατ' εὐθεῖαν, ὅθεν καὶ τὰ γράμματα λόγῳ μὲν στοιχεῖα εἰσίν, ἀλλ' οὐ λόγος. καὶ ταῦτα ἀπόχρη περὶ τῶν ὀνομάτων τῶν πρώτων ἐναντιώσεων.

# ΚΕΦΑΛΑΙΟΝ, ΠΕΜΠΤΟΝ.

## Ὁρισμοὶ τῶν πρώτων ποιοτήτων.

ΚΟινῷ μὲν οὖν αἱ πρῶται ποιότητες ὁρισμῷ περιγράφονται ὅτι ποιότητές εἰσι κατὰ τὴν φύσιν ποιητικαί τε καὶ παθητικαί, πρώτως εἰδοποιοῦσαι τὴν κοινὴν ὕλην καὶ ἐν λόγῳ καθιστῶσαι στοιχείων αἰσθητῶν. ἰδίῳ δὲ ἑκάστη τούτων ὅρῳ δηλοῦται. ἡ μὲν θερμότης ὅτι πρώτη ἐστὶ τῶν ποιητικῶν ποιοτήτων εἰδοποιοῦσα τὸ πῦρ, διακρίνουσά τε τὰ ἑτερογενῆ καὶ συγκρίνουσα τὰ ὁμόφυλα. ἡ δὲ ψυχρότης ποιότης ἐστὶ ποιητικὴ συνιστῶσα τὸ ὕδωρ, καὶ συγκρίνουσα τὰ ὁμογενῆ, καὶ ἑτερογενῆ. ὑγρότης δὲ ἐστὶ ποιότης παθητικὴ συνιστῶσα τὸν ἀέρα, ὅρῳ μὲν οἰκείῳ δυσόριστος, εὐόριστος δὲ ἀλλοτρίῳ. ξηρότης δὲ ποιότης ἐστὶ παθητική, γῆς εἰδοποιητική, ὅρῳ μὲν οἰκείῳ εὐόριστος, ἀλλοτρίῳ δὲ δυσόριστος. εἰ δὲ ἡμῖν ἐξοδικώτερον οἱ ὁρισμοὶ τούτων ἐκτέθεινται, ἢ ὡς λέγονται τῷ Φιλοσόφῳ αἴτιον ὅτι τὰ ἀλλαχοῦ διωρισμένα τοῖς ὁρισμοῖς προσήψαμεν, ἵν' ὦσιν ἐμφανέστεροι. οἱ γὰρ ἀποδοθέντες τῷ Σταγειρίτῃ διὰ τὸ συντομώτερον, ἔστιν οἷς διαβέβληνται λόγοις. οἱ μὲν γὰρ τούτους νομίζουσι παρειλῆφθαι οὐχ ὡς κυρίως, ἀλλ' ὡς ἐκφαίνοντας τῶν ποιοτήτων τὰς μὲν εἶναι ποιητικὰς τὰς δὲ παθητικάς, καίτοι δηλωτικοὶ σαφῶς εἰσιν οἱ τοιοῦτοι ὁρισμοὶ τῆς Φύσεως τῶν ποιοτήτων καθ' αὑτό. κατὰ συμβεβηκὸς δὲ καὶ εἱονεὶ δεύτερον τινὰ τρόπον, ὅτι αἱ μὲν ποιοῦσι μᾶλλον, αἱ δὲ πάσχουσι. δεῖ γὰρ τὰς ποιότητας ἀπὸ τῶν οἰκείων ἐνεργειῶν ὁρίζεσθαι, ἐνέργειαι δὲ δύω τινὲς εὕρηνται τῶν ποιοτήτων, καὶ πρώτη μὲν οἷον τοῦ θερμοῦ τὸ θερμαίνειν, τοῦ δὲ ψυχροῦ τὸ ψύχειν. μετὰ δὲ ταύτην τοῦ μὲν θερμοῦ τὸ συγκρίνειν τὰ ὁμόφυλα, τοῦ δὲ ψυχροῦ τὸ συγκρίνειν τά τε ὁμογενῆ καὶ ἑτερογενῆ. ἐπειδὴ γὰρ ἡ δευτέρα ἐνέργεια τὴν πρώτην ἐξ ἀνάγκης ὑποτίθησι καὶ ταύτην ἀναπτύσσει, εἰκότως ὁ Φιλόσοφος ταύτῃ μᾶλλον ἐχρήσατο ἐν τοῖς ὁρισμοῖς. Ἔτι δὲ τὸ μὲν θερμαίνειν πυρὸς ἴδιον ἢ τοιοῦτόν τι τῶν ὄντων ἐστὶ θεωρουμένου. Τὸ δὲ συγκρίνειν πρὸς τὴν τοῦ ὑπὸ Σελήνην σώματος συντελεῖ τελειότητα οὔτε τῇ τῶν μικτῶν κράσει, καὶ ἐν τῇ τῶν στοιχείων θέσει.

προθεὶς εἰ βούλει ὅτι εἰ τῷ Φιλοσόφῳ ἐλέγετο ὅτι τὸ θερμόν ἐστι τὸ θερμαίνειν παίζειν ἂν ἔδοξε περὶ τὰ ὀνόματα οὐδὲν ἀποφαινόμενος περὶ τῆς τῶν πραγμάτων φύσεως. ἠπορεῖτο γὰρ εἰσέτι καὶ μᾶλλον, τί ἄρα εἴη τὸ θερμαίνειν, διὸ δὴ τὸν τῆς θερμότητος δηλωτικὸν φράσων λόγον τοιαύτῃ τινὶ προσκέχρηται ἐνεργείᾳ οἷα τίθησι τὸ ὁριστὸν ὑπ᾽ ὄψιν χαρακτηρίζουσα, καὶ τῶν λοιπῶν διακρίνουσα ποιοτήτων, τὰ αὐτὰ δ᾽ ἂν ταῦτα φαίης καὶ ἐπὶ τῶν ἄλλων ποιοτήτων. ἐπειδὴ ὅμως μᾶλλον γίγνεται καταφανὴς ἡ ἀλήθεια τῇ παραθέσει τῶν ἐναντίων λόγων, φέρε δὴ σκεψώμεθα τίνα τις εἴποι κατὰ τῶν ἐκδεδομένων ὁρισμῶν. Πρῶτον μὲν γὰρ τῶν ἐναντίων ἐναντίαι δοκοῦσιν εἶναι αἱ ἐνέργειαι, ἐπειδὴ οὖν ἀντίκειται τῷ θερμῷ τὸ ψυχρὸν, τῷ τρόπῳ ἀμφοτέροις ἀποδέδοται τὸ συγκρίνειν; ἢ συγκρίνουσι μὲν ἀμφότερα τρόπῳ δ᾽ ἐναντίῳ. Τὸ μὲν θερμὸν δηλαδὴ ἀραιοῦν, καὶ τὰ ὁμόφυλα οὕτως ἀποσπασθέντα τῶν ἑτερογενῶν, τὸ δὲ ψυχρὸν πυκνοῦν, καὶ οἷα συμπηγνύον τά τε ἑτερογενῆ καὶ ὁμογενῆ. Ἀπορεῖται δεύτερον, δοκεῖ γὰρ καὶ αὐτὸ τὸ πῦρ συγκρίνειν τὰ ἑτερογενῆ, οἱ μὲν γὰρ φαρμακοπῶλαι φάρμακα παντοῖα συνδοῦσι, καὶ συμμιγνύουσι παρατιθέντες πυρὶ, μάλιστα δὲ ἐν αὐτοῖς τοῖς ζώοις τὰ ὀργανικὰ καὶ ἀνομοιομερῆ τῶν μερῶν συμπλέκεται τῷ θερμῷ, καὶ εἰς ἓν καθίσταται, ἢ ὥστε φασὶν, ἐπὶ τὸ πλεῖστον συγκριτικὸν ἐστὶ τὸ θερμὸν διαβάλλοντες τὸν τοῦ Φιλοσόφου ὁρισμόν. ὡς οὐκ ἀεὶ προσήκοντα τῷ ὁριστῷ, ἢ θερμοῦ μὲν ἴδιον τὸ συγκρίνειν τοῦ οἰκείου τέλους ἐπιτυχόντος, εἰδὲ κατὰ μέσον ἀποκόπτεται τὴν ἐνέργειαν συγκρίνει μὲν τὰ ἑτερογενῆ, ἀλλ᾽ εἰς κοινήν τινα ὁμοφυΐαν ὡς οἷόν τε μεταποιοῦν, τὰ μὲν οὖν φάρμακα πρῶτον μὲν διαχεῖται τῷ πυρὶ, ἔπειτα δὲ λεπτύνεται, καὶ ἀραιούμενα ἐξατμίζεται, ὥστε τῶν ὁμοφύλων συνιόντα τὰ μέρη ἢ καθιζάνειν γεώδη ὄντα, ἢ ἀπιέναι ἄνω θέοντα τῇ κουφότητι. εἰδὲ μὴ πρὸς τὸ πέρας ἡ τοῦ θερμοῦ ἀφικνεῖται ἐνέργεια λεαινόμενα τὰ παρακείμενα τῷ θερμῷ συμμίγνυται, καὶ συγκρίνεται μὲν ἀλλὰ κατὰ συμβεβηκός πως ὡς ἔοικε, τοῦ γὰρ θερμοῦ ἴδιον τὸ συγκρίνειν ἀεὶ τὰ ὁμόφυλα, ἀλλ᾽ οὐ τὰ ἑτερογενῆ, εἰδ᾽ ἐμποδίζοιτο εἰς κράμμα τι κοινὸν συνδυάζει τὰ πάντῃ διεστηκότα οἷον ἐπὶ τῆς πέψεως ποικίλα εἰς τὸν στόμαχον εἰσιόντα ἐδέσματα ἕψεται μὲν ὅπως ἂν εὐχερέστερον διακριθέντων τῶν ἑτερογενῶν τὰ ὁμόφυλα συνδυάζεται, ἀλλά γε τῇ τῆς ψυχῆς διαίτῃ τὸ θερμὸν μέχρι τινὸς τὴν οἰκείαν ἐνέργειαν παρατεῖνον οἷον ἐπέχεται χαλινῷ, διὸ εἰς συμφυές τι τὰ ἑψηθέντα μεταποιεῖται ἵνα καὶ ταῦτα ὡς ὁμόφυλα συγκριθῇ, τὰ δὲ πάντῃ ἕτερα οἷον εἰσὶ τὰ ὑποχωροῦντα χωρίζει καὶ ἀποπέμπει. Τοιγαροῦν ὅπου ἂν συγκριτικὸν φωραθῇ τὸ θερμὸν τῶν ἑτερογενῶν οὐ τοῦτο τῇ φύσει αὐτοῦ προσνεμητέον, ἀλλὰ τῷ

ὑπαντιάζοντι καὶ κωλύοντι τὴν ἐνέργειαν, καί τοι κἀνταῦθα θαυμάζειν εἰκὸς ὅτι τῆς κατ᾽ εὐθεῖαν ἀγούσης εἰς ὃ πέφυκε πέρας ἐκτρεπόμενον οὐχ ἵσταται, οὐδ᾽ ἀνακάμπτει, ἀλλ᾽ ὡς ἐν πλησίον που πίπτει τοῦ τέλους κεκλασμένως ἐνλωυγμένον. Τρίτον ἀπορεῖται περὶ τὸ ψυχρὸν τῷ τρόπῳ λέγεται συγκριτικὸν τῶν ὁμογενῶν, χειμῶνος μὲν γὰρ τοῦ ψύχους ἐπικρατοῦντος αὐτομάτως οἱ ὀφθαλμοὶ δακρύουσι, καὶ ὡς λέγεται δευτέρῳ περὶ γενέσεως ζώων κεφ. β'. ὑπὸ τοῦ ψυχροῦ τὸ ἐν τῷ σπέρματι θερμὸν ἀπόλλυται, τὸ δὲ ὑδατῶδες διακρίνεται τοῦ ἀερώδους, καὶ φθείρεται τάχιστα τὰ σπέρματα. Ἢ ὅτι τοῦ ψυχροῦ συγκρίνοντος ἀεὶ, τὰ λεπτομερῆ διαδιδράσκοντα τὴν τούτου ἐνέργειαν ἀποκρίνεται, ἢ ὅτι τὸ ἐν τοῖς μικτοῖς θερμὸν ὃ τὴν τούτων συνέχει συμφυΐαν ὑπὸ τῆς ψυχρότητος παθαινόμενον ἀπακμάζει, ὥστε τὰ συνδούμενα πρότερον τῷ θερμῷ, ὕστερον λύεται τῇ ψυχρότητι, δι᾽ ἣν αἰτίαν τό, τε αἷμα ὑπὸ τοῦ ψυχροῦ εἰς ἑτερογενῆ μέρη χωρίζεται, καὶ γάλα, καὶ σπέρμα, καὶ ἄλλα πάμπολλα τοιαῦτα. „Ταῦτα δὲ δεδήλωται τῷ Φιλοσόφῳ τρανώτε-
„ρον ἐν τῷ πέμπτῳ περὶ γενέσεως ζώων κεφ. γ'. Σκληραίνει γάρ φη-
„σι καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν, ἐξατμίζεσθαι γὰρ ὑπ᾽ ἀμφοτέ-
„ρων συμβαίνει τὸ ὑγρὸν, ὑπὸ μὲν τοῦ θερμοῦ καθ᾽ αὑτὸ, ὑπὸ δὲ τοῦ
„ψυχροῦ κατὰ συμβεβηκὸς, μετὰ τοῦ θερμοῦ γὰρ συνεξέρχεται, οὐδὲν
„γὰρ ὑγρὸν ἄνευ θερμοῦ, ἀλλὰ τὸ μὲν ψυχρὸν οὐ μόνον σκληρύνει,
„ἀλλὰ καὶ πυκνοῖ, τὸ δὲ θερμὸν μανώτερον ποιεῖ, καὶ τὰ ἑξῆς.
δι᾽ ὧν ἐξάγεσθαι δηλοῖ τὸ ὑγρὸν ὑπὸ μὲν τοῦ ψυχροῦ ὅτι πυκνοῖ τὰ γεώδη καὶ ἐκθλίβει τὸ ὑγρὸν, ὑπὸ δὲ τοῦ θερμοῦ ὅτι πάντα μανώτερα καθίσταται. Τέταρτον ἠμφισβήτειται περὶ τὸ ξηρὸν, δοκεῖ γὰρ ὅτι εὐόριστόν ἐστιν ὅρῳ ἀλλοτρίῳ τό, τε γὰρ πῦρ ξηρὸν ὂν ὑπὸ τοῦ περιέχοντος ῥᾷστα σχηματίζεται, καὶ ἕτερα τοιαῦτα ξηρὰ ὄντα οἷον κόνις καὶ ἀναθυμίασις οὐ χαλεπῶς ὁρίζεται τοῖς συνέχουσιν, ἢ ὅτι καθά φησιν Ἀβερρόης τὰ ὑγρὰ δυσόριστα λέγεται ὅροις οἰκείοις, ὅτι ἐν τῷ μεταξὺ τιθέμενα μανοῦσθαι ἐνδέχεται ἐπὶ πλέον, καὶ πυκνοῦσθαι, τὰ δὲ ξηρὰ ἐν τοῖς ὅροις ὑπάρχοντα οὐ περαιτέρω μεταβάλλεσθαι δύναται κατὰ πύκνωσιν καὶ ἀραίωσιν. ὅθεν τὰ μὲν ξηρὰ ὅρῳ ἀλλοτρίῳ κατὰ μεταβολὴν εἴρηται δυσόριστα, τὰ δὲ ὑγρὰ εὐόριστα ὅτι μεταβάλλειν οἷά τέ εἰσιν, ἀλλὰ ταῦτα μὲν ἀπεμφαίνοντά εἰσι Φιλοσόφῳ παντὶ τῶν ἐν τῷ περιπάτῳ. Ἡ γὰρ ἀραιώσεως καὶ πυκνώσεως ἀκρότης οὐ τῷ ξηρῷ, ἀλλὰ τῷ θερμῷ καὶ ψυχρῷ παρηκολούθηκεν ἔν τε πυρὶ καὶ γῇ. Ἔτι δὲ εἰ καὶ μὴ ἐνδέχεται μανώτερον γενέσθαι τὸ πῦρ, καὶ κατὰ τοῦτο ἑτέρωθεν ἢ δυσόριστον, ἀλλάγε δύναται πυκνοῦσθαι καθάπερ καὶ ἡ γῆ πυκνοῦσθαι μὲν οὐχ οἷά τέ ἐστιν, ἀραιοῦσθαι δὲ καὶ μά-

λα.

ΙΩΑΝΝΙΝΑ 2006

λα. πρόσθες ὅτι οἱ ῥηθέντες ὅροι τοῖς εἴδεσι παρομαρτοῦσι τοῖς οὐσιώδεσι τῶν στοιχείων δύναμιν ἔχουσι μεταβάλλειν εἰς τἀναντία, εἴτε ἄκρα εἴτε μέσα, τὸ δὲ εὐόριστον καὶ δυσόριστον περὶ τοῦ κατ᾽ ἐπιφάνειαν εἴδους καὶ σχήματος εἴρηται τῷ Φιλοσόφῳ. ὥσπερ γὰρ τῷ θερμοῦ καὶ ψυχροῦ τοὺς ὁρισμοὺς ἀπὸ τοῦ συγκρίνειν παρεμπορεύεται δηλοτέρου μᾶλλον ὄντος ἡμῖν καὶ γνωριμωτέρου, οὕτω τοι κἀπὶ τοῦ ὑγροῦ καὶ ξηροῦ ἀπὸ τῆς κατὰ τὸ σχῆμα ἰδιότητος τοὺς ὁρισμοὺς συναρμόζει. ἄλλοι μὲν οὖν τινες πυραμοειδὲς τιθέμενοι τὸ πῦρ σφαιροῦσθαι φασὶ, καὶ ἀκριβῶς ἔντορνον καθίστασθαι, ὅτι πάντῃ πάντως ἄνω φέρεται. ὅθεν ὥσπερ τὸ ὕδωρ ἐπὶ τὸ κοῦφον φύσει κατιὸν κυκλοτερῶς σχηματίζεται, ἵνα καθ᾽ ὁτιοῦν μόριον ἴσῳ διαστήματι ἀποστῇ τοῦ κούφου, οὕτω τὸ πῦρ ἑκασταχοῦ τῶν αὐτοῦ μερῶν ὁρμῶν εἰς τὸ ἄνω τῇ περιεχούσῃ συσχηματίζεται σφαίρᾳ. Περιττὸν δὲ πρώτως τῶν οὕτω λεγομένων τὸ προσαπονέμαι τῷ πυρὶ τὸ σχῆμα τῆς πυραμίδος, καθ᾽ ἑαυτὸ γὰρ τὸ πῦρ ἀσχημάτιστον λέγεται δευτέρῳ καὶ τρίτῳ περὶ οὐρανοῦ, τὸ δὲ πυραμοειδὲς προσλαμβάνει ἀπὸ τῆς εἰς τὰ ἄνω ὁρμῆς. Δεύτερον οὐκ ὀρθῶς ἔοικε λέγεσθαι ὅτι τὸ πῦρ δυσόριστον, ὂν οἷα ξηρὸν ὁρίζεται τῷ περιέχοντι διὰ τὴν εἰς ἄνω φορὰν, κατὰ γὰρ τὴν τοῦ Φιλοσόφου λέξιν τρίτῳ περὶ οὐρανοῦ κεφ. η., τὰ λεπτομερῆ εὐδιαίρετά εἰσι, τὰ δὲ εὐδιαίρετα καὶ εὐόριστα τυγχάνει. ὥστε καὶ τὸ πῦρ εὐδιαίρετον ὂν εὐόριστον ἔσται ὑπὸ τοῦ περιέχοντος, ταῦτα τοίνυν παραιτησάμενοι οὐδὲν ἧττον τὸ πῦρ δυσόριστον λέγομεν, ὁρίζεται γὰρ, ἀλλ᾽ οὐ σώζει τὸν ὅρον καὶ τὸ σχῆμα. Ἢ βέλτιον εἰπεῖν τοὺς ἀποδοθέντας ὁρισμοὺς μάλιστα μὲν ἐν τῷ μικτῷ ἀληθεύειν, ἔνθα τὸ μὲν ὑγρὸν ῥᾳδίως ὁρίζεται τῷ ξηρῷ, καὶ μορφοῦται, τὸ δὲ ξηρὸν χαλεπῶς ὑπὸ τῆς ὑγρότητος ὁρίζεται. Τελευταῖον οὐκ ὀρθῶς ὁ Φιλόσοφος τὸ ὁρίζειν ὁτὲ μὲν ἀπονέμει τῷ ψυχρῷ, ὁτὲ δὲ τῷ θερμῷ, ἔσθ᾽ ὅτε δὲ καὶ αὐτῷ τῷ ὑγρῷ, ἢ ὅτι τῷ μὲν ὑγρῷ ὡς κόλλῃ συμπλέκεται τὰ μικτὰ, τῷ δὲ ψυχρῷ ὡς σκληρυνθέντα καὶ πεπηγότα, τῷ δὲ θερμῷ ὡς ὄντι διαιτητικῷ ἐν τοῖς μάλιστα τῆς κράσεως καὶ συνοχῆς τῶν μικτῶν.



ΙΩΑΝΝΙΝΑ 2006

# ΚΕΦΑΛΑΙΟΝ, ΕΚΤΟΝ.

## Διαίρεσις τῶν ποιοτήτων εἰς τὰς ποιητικὰς καὶ παθητικάς.

Σκοπὸς ἦν τῷ Φιλοσόφῳ διὰ τῶν ἐκτεθέντων ὁρισμῶν τῶν ποιοτήτων τὰς μὲν ποιητικὰς ἀποφήνασθαι, τὰς δὲ παθητικάς. τὸ μὲν γὰρ συγκρίνειν δηλωτικὸν ὂν ἐνεργείας, καὶ τῷ θερμῷ καὶ ψυχρῷ προσαποδιδόμενον ταῦτα ποιητικὰ καθίστησι. τὸ δὲ εὐόριστον καὶ δυσόριστον ὑγρῷ τε καὶ ξηρῷ προσόντα δείκνυσιν αὐτὰ παθητικά. πρόσθες ὅτι θερμοῦ μὲν καὶ ψυχροῦ ἴδια τὸ συνέχειν, ὀρίζειν, σκληρύνειν, λεπτύνειν, ἀραιοῦν, πυκνοῦν, βαρύτητι πιέζειν, κουφίζειν, καὶ τὰ τοιαῦτα. ὑγροῦ δὲ καὶ ξηροῦ τἀναντία τοῖς εἰρημένοις. καὶ ὅσα πάθους εἰσὶ σημαντικά. Τούτων ὅμως οὕτως εἰρημένων, δυσπαρακολούθητον ἡμῖν τὴν τοῦ Φιλοσόφου λέξιν ἡ περίεργος τῶν νεωτέρων τερατολογία ποιεῖται, μυρία γὰρ ἄττα προσπλάττουσιν οἴκοθεν, ὥστε καὶ ἡμᾶς κατηναγκάσθαι μὴ ἀβρόχοις, ὥς φασι, ποσὶ τὰ παρ' ἐκείνοις διαπεράσαι ἅπαντα, ἀλλ' ὡς ἔνι συντετμημένως τὰς μὲν προστριβείσας ἀπονίψαι διαβολάς, αὐτὴν δὲ τὴν τοῦ Φιλοσόφου ἔννοιαν διασαφῆσαι. ἐκεῖνα δὲ προδιαληπτέον εἰς διευκρίνησιν, ὅτι τοῦ ποιοῦ τὸ μέν, ἐστι ποιητικὸν μὲν ἀπαθὲς δὲ πάντως οἷον τὸ φῶς. τὸ δὲ παθητικὸν μὲν ἥκιστα δὲ ποιητικόν, οἷον τὸ διαφανές. καί τοι τὸ τοιοῦτον πάθος οὐκ εἰς φθορὰν τελευτᾷ, εἰσὶ δ' ἅττα πάσχειν μὲν καὶ ποιεῖν λέγεται, ἀλλ' οὐ κυρίως, οἷον τὸ κοῦφον καὶ βαρύ, οὐδ' ὑπ' ἀλλήλων. μόναι τοιγαροῦν αἱ πρῶται ποιότητες ποιητικαὶ καὶ παθητικαὶ εἰς ἄλληλα τυγχάνουσι. Τούτων δὲ ἡ ποίησις καὶ ἡ πάθησις ἀμφισβητήσιμός ἐστι. πότερον κοινῇ πάσαις προσήκουσιν, ἢ, οὔ; ὁ μὲν γὰρ Γαληνὸς ἐν τῷ περὶ Φυσικῶν δυνάμεων κεφ. γ΄. ἀντιλογίας κατηγορεῖ τοῦ Φιλοσόφου ὡς ἐπὶ μὲν δυσὶ ποιότησι χρωμένου, ἐπὶ δὲ ταῖς τέτταρσι. καὶ πάλιν ἁπλῶς τῶν ποιοτήτων τὰς μὲν ἀποφαινομένου ποιητικάς, τὰς δὲ παθητικάς. ἐπὶ μόνων μὲν γὰρ τῶν ζώων τὴν τοιαύτην ἀποδέχεται διαίρεσιν, ἐπὶ δὲ τῶν λοιπῶν οὐδαμῶς. ἀλλ' ἡ μὲν τοῦ Φιλοσόφου ῥῆσις ὀρθῶς ἔχει, ὁ δὲ Γαληνὸς ἔοικεν ἁμαρτεῖν. ἐπὶ πάντων γὰρ τῶν μικτῶν πάμπαν ἀληθές ἐστιν ὅτι πέττει μὲν τὸ θερμόν, καὶ συνενοῖ, καὶ συνέχει, τὸ δὲ ψυχρὸν ὀρίζει καὶ σχηματίζει, τὸ δὲ ὑγρὸν καὶ ξηρόν, τὰς τοῦ θερμοῦ καὶ ψυχροῦ ἐνεργείας ὑποδέχονται, ἀλλ' οὐκ

ἐπ' ἐνίων ὡς ἐκεῖνος φαντάζεται. ἕτεροι δὲ συγχωροῦσι μὲν ἐπὶ πάντων τῶν μικτῶν τῶν ποιοτήτων, τὰς μὲν εἶναι παθητικὰς, τὰς δὲ ποιητικάς. οὐχ ὡς τῶν μὲν ὅλως παθαινομένων, τῶν δὲ ἐνεργουσῶν. πάντως γὰρ διὰ παντὸς δραστικὰς ὑπειλήφασιν εἶναι, τὰς κατὰ τὴν ἀφὴν ποιότητας, ἀλλ' ὅτι τῇ πρὸς ἀλλήλας ἀναφορᾷ ἡ ἑτέρα τῆς ἑτέρας ἀπολείπεται τοῦ δραστηρίου, μάλιστα δὲ τὸ ὑγρὸν καὶ ξηρὸν παρὰ τὸ θερμὸν καὶ ψυχρὸν ἀνακρινόμενα ὑποπίπτειν ἔοικε τῇ παθήσει, εἰς τὴν ἔννοιαν καὶ τὸν Ἀβερρόην παράγουσι λέγοντά που. τοῦ ποιοῦ τὸ μὲν δρᾶν μᾶλλον ἢ πάσχειν, τὸ δὲ τοὐναντίον. ἀλλὰ ταῦτα μὲν κομιδῇ τῆς τοῦ Φιλοσόφου καταστρατεύεται δόξης. ἐκεῖνος γὰρ ὡς ἔοικεν οὐ περὶ τῆς κατὰ τὸ θερμὸν καὶ ψυχρὸν ἐνεργείας καὶ πάθους τὴν ῥῆσιν ἐξενήνοχεν, ἀλλὰ μᾶλλον περὶ τῶν ἐν τῷ ὁρισμῷ παρειλημμένων ἰδιοτήτων, οἷον τοῦ συγκρίνειν καὶ ὁρίζεσθαι. οὗτοι δὲ ἑτερωσέ ποι διαπάττουσι τὴν κατὰ τὸ θερμὸν καὶ ξηρὸν καὶ ψυχρὸν καὶ ὑγρὸν ἐνέργειαν ἐκβασανίζοντες. Ἔτι δὲ ἐκ διαμέτρου ἡ τούτων θέσις ἀντίκειται τῇ τοῦ Φιλοσόφου ῥήσει, ὁ μὲν γὰρ ἐναντίωσιν ἐναντιώσει ἀντιπαρατάττει, οἷον τὸ ὑγρὸν καὶ ξηρὸν, τῷ θερμῷ καὶ ψυχρῷ, οἱ δὲ τἀναντία παραπλέκοντες ἀλλήλοις τὰ μὲν ἡττᾶσθαι φασὶ, τὰ δὲ περιγίγνεσθαι. ὥστε ἀληθῆ μὲν λέγουσι, διάστροφα δὲ ὅμως τῆς Ἀριστοτελικῆς γνώμης. πρόσθες ὅτι ἁπλῶς εἴρηται τῷ Φιλοσόφῳ τῶν ποιοτήτων αἱ μὲν παθητικαὶ, αἱ δὲ ποιητικαὶ, ἀλλ' οὐ μᾶλλον ἢ ἧττον ὡς οὗτοι κομψεύονται περιτρέποντες εἰς τὴν οἰκείαν ἐπίνοιαν τὸν ἐκείνου λόγον. ὁ δὲ Φιλόπονος μᾶλλον ἐγγὺς πίπτει τοῦ σκοποῦ, καὶ τὰς ποιότητας πρὸς ἀλλήλας μὲν παθητικὰς οἴεται, καὶ ποιητικὰς ὁμοῦ πάσας. πρὸς δὲ τὴν τῶν συνθέτων σωμάτων γένεσιν τὸ μὲν θερμὸν καὶ ψυχρὸν ποιητικοῦ λόγον ἔχειν ἀποφαίνεται. παθητικοῦ δὲ τὸ ὑγρὸν καὶ ξηρόν. ἡ μὲν γὰρ Γῆ φησιν ἀσύνδετος οὖσα, καὶ εὐδιασκέδαστος, δεῖται τοῦ ὕδατος συνδέοντος καὶ φύροντος αὐτήν. ὥσπερ τὸ Ὕδωρ Γῆς δεῖται περιοριζούσης ῥευστικὸν ὂν καθ' ἑαυτὸ καὶ ἀνυπόστατον. Γῆ δὲ καὶ Ὕδωρ ἀλλήλοις μιγέντα συνέχει μὲν ἄλληλα, οὐ μὴν ἐργάζονται σύνθεσιν ἀκριβῆ. ἀλλὰ δεῖται τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ ταῦτα συμφυούντων, καὶ εἰδοποιούντων, ὥστε ὑποκειμένου μὲν λόγον ἐπέχειν τὸ ὑγρὸν καὶ ξηρὸν, εἴδει δ' ἀναλογεῖν τὸ θερμὸν καὶ ψυχρὸν, παράδειγμα δὲ τούτου τίθησι τὴν τῶν κεράμων ἐργασίαν. ἐν οἷς τὸ ὑγρὸν καὶ ξηρὸν συνελθόντα τὴν τοῦ κεράμου σύνθεσιν ἐργάζεται. εἶτα δὲ πήγνυσι τὸ ψυχρὸν, καὶ τελευταῖον τὸ θερμὸν συμφύει, καὶ ποιεῖ κέραμον. εἰ καὶ οὖν τὸ ὑγρὸν δρᾷ εἰς τὸ ξηρὸν καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν, ἀλλ' ὅμως τὴν μὲν ἑτέραν ἀντίθεσιν παθητικὴν, ποιητικὴν δὲ τὴν λοιπὴν λέγει. ἢ ὅτι ἡ τοῦ ξηροῦ καὶ ὑγροῦ ἐνέργεια ὕλην παρασκευάζει, τελειοῖ δὲ τὸ ψυχρὸν καὶ θερμὸν, καὶ εἰδοποιεῖ, ἢ



ΙΩΑΝΝΙΝΑ 2006

ὅτι τὸ μὲν ὑγρὸν καὶ ξηρὸν ἐγκαταμιγνύμενα δρᾷ καὶ πάσχει. τὸ δὲ θερμὸν καὶ ψυχρὸν ἐκτὸς ὄντα διαδίδωσι τὰς οἰκείας ἐνεργείας. ἐμπεδοῦται δὲ καὶ τῇ τοῦ Φιλοσόφου ψήφῳ ἡ τοιαύτη δόξα, τὸ γὰρ ποιητικὸν καὶ παθητικὸν ἐν ταῖς ποιότησι καθορίζεται παρὰ τοῦ Φιλοσόφου, τῷ συγκριτικῷ καὶ διορίστῳ, ἢ δυσορίστῳ, ταῦτα δὲ ἐν τῇ τῶν σωμάτων συνθέσει χώραν ἔχει. Τούτων δὲ οὕτως εἰρημένων πολλοί τινες ἀντιπίπτουσι λόγοι, πρῶτον μὲν γὰρ τετάρτῳ περὶ μετεωρολογικῶν κεφ. α΄. τὰ μὲν

„ δύω οἷον τὸ θερμὸν καὶ τὸ ψυχρὸν ποιητικά, τὰ δὲ δύω οἷον τὸ ξη-
„ ρὸν καὶ ὑγρὸν παθητικὰ εἰπών, ἐπιφέρει. φαίνεται γὰρ ἐν πᾶσιν ἡ
„ μὲν θερμότης καὶ ψυχρότης ὁρίζουσαι, καὶ συμφύουσαι, καὶ μεταβάλλου-
„ σαι τὰ ὁμογενῆ καὶ μὴ ὁμογενῆ, καὶ ξηραίνουσαι καὶ ὑγραίνουσαι, σκλη-
„ ρύνουσαι καὶ μαλάττουσαι, τὰ δὲ ξηρὰ καὶ ὑγρὰ ὁριζόμενα, καὶ τὰ ἄλ-
„ λα τὰ εἰρημένα πάσχοντα, αὐτά τε καθ᾽ ἑαυτά, καὶ ὅσα κοινὰ ἐξ ἀμ-
„ φοῖν σώματα καθέστηκεν.

ἐξ ὧν καταφανής ἐστι μὴ μόνον πρὸς τὴν τῶν σωμάτων σύνθεσιν εἰς τὸ παθητικὸν καὶ ποιητικὸν διατεμεῖν τὰς ποιότητας τὸν Φιλόσοφον, ἀλλὰ καὶ πρὸς ἄλληλα τὴν τοιαύτην σώζειν ἰδιότητα. Δεύτερον τὸ τὰς μὲν εἶναι παθητικάς, τὰς δὲ ποιητικάς, δείκνυσιν ὁ Φιλόσοφος τῇ τῶν ὁρισμῶν ἐκθέσει, τοὺς δὲ τῶν πραγμάτων ὁρισμοὺς μὴ ἀποδίδοσθαι καθ᾽ ἑαυτό, ἀλλὰ σχέσει τῇ πρὸς ἕτερον, ὅρων ἐκβέβηκε Φιλοσοφικῶν. Τρίτον εἰ μὲν καθ᾽ ἑαυτὰς αἱ ποιότητες τὰς εἰρημένας οὐ σώζουσιν ἰδιότητας, ὥστε τὰς μὲν ὁρίζειν, τὰς δὲ ὁρίζεσθαι, πῶς ἂν τὴν τοιαύτην ἐνέργειαν ἐν τοῖς μικτοῖς παρέχοιεν; ὅτι δὲ καὶ ἐν τοῖς μικτοῖς εἰς ἄλληλα δρῶσι ταύτῃ δῆλον, εἰ μή τις ὑπολάβοι τῶν ἀλλαχοῦ λεγομένων ἔσθ᾽ ὅτε καταρραθυμεῖν τὸν Φιλόσοφον εἴρηκε γὰρ ὅτι τὸ μικτὸν γίνεται τῶν στοιχείων ἀλλοιωθέντων, καὶ τῇ εἰς ἄλληλα ἐνεργείᾳ τὰς ὑπεροχὰς ἀποβαλλόντων. πάνυ μὲν οὖν ἀμφιβαλλομένης τῆς τοῦ Φιλοσόφου ῥήσεως, καὶ πανταχόθεν ἀποριῶν παρεχούσης λαβάς, ταῦτα δεῖν πρώτως ὑποθέσθαι νομίζω εἰς βεβαιοτέραν ἐμπέδωσιν. Πρῶτον ὅτι ἡ ἑτέρα τῶν ἀντιθέσεων τῇ ἑτέρᾳ ἀντιτάττεται παρὰ τῷ Φιλοσόφῳ, ἀλλ᾽ οὐ τἀναντία ἀλλήλοις. Δεύτερον ὅτι οὐ κατὰ τὸ θερμαίνειν καὶ ψυχραίνειν, καὶ ὑγραίνειν καὶ ξηραίνειν τὰ μὲν λέγεται παθητικά, τὰ δὲ ποιητικά, ἀλλὰ κατὰ τὸ ὁρίζειν καὶ ὁρίζεσθαι, καὶ συγκρίνειν καὶ συγκρίνεσθαι. Τρίτον ὅτι ἐν πᾶσι μὲν ἀληθὴς ἡ διαίρεσις, προφανὴς δὲ μᾶλλον ἐπὶ τῶν μικτῶν. Τελευταῖον ὅτι εἰ καὶ κατὰ συμβεβηκός ποτε οὐκ ἀληθεύειν ἔοικεν ἡ τοιαύτη τομή, ἀλλὰ παρὰ μὲν τὸν τῆς φύσεως σκοπὸν θεωρουμένη ἀκίβδηλός ἐστι καὶ ἀμώμητος. κείσθω τοίνυν πρῶτον ὅτι τῶν ποιοτήτων, αἱ μὲν εἰσὶ παθητικαί, αἱ δὲ ποιητικαὶ κατὰ τὸ συγκρίνειν, καὶ συγκρίνεσθαι θεωρούμεναι, κατ᾽ ἄλλον δὲ



ΙΩΑΝΝΙΝΑ 2006

τινα τρόπον ἐξεταζόμεναι πολυτρόπως ἐνδέχονται λέγεσθαι. ἢ μὲν γὰρ ἐν τοῖς μικτοῖς εἰσιν ἠλλοιωμέναι, ὕλης ἔχουσαι λόγον εἰδοποιουμένης τῇ συμφυΐᾳ καὶ κράσει τῶν μιχθέντων. ἢ δὲ διαφοραί εἰσι καὶ εἴδη τῶν στοιχείων ἀλλήλαις ἀντίθετοι, εἴδους ἔχουσαι λόγον, ἀρχαὶ ποιήσεως εἰσὶν εἰκότως, πεφύκασι δ᾽ ὅμως τῇ τῆς ὕλης κοινότητι πάσχειν ὑπ᾽ ἀλλήλων, ἢ δὲ πρὸς ἄλληλα ἀναφέρεται, αἱ μὲν εἰσὶ μᾶλλον ποιητικαί, αἱ δὲ μᾶλλον παθητικαὶ κατὰ τὰς συνωνύμους ἐνεργείας βασανιζόμεναι. κατὰ δὲ τὰς ὁμωνύμους, ὡς ἔνιοι καλεῖν φιλοῦσι, τὸ συγκρίνειν καὶ ὁρίζειν, καὶ τὸ ταῦτα πάσχειν, ἡ μὲν τοῦ ὑγροῦ καὶ ξηροῦ ἀντίθεσις παθητική, ἡ δὲ τοῦ ψυχροῦ καὶ θερμοῦ ποιητική ἐστι. μάλιστα δὲ ἐπὶ τῶν συνθέτων καθορᾶται τοδί. Γῆ μὲν γὰρ καὶ Ὕδωρ συνόντα δέχεται τὰς ἀπὸ τοῦ Ἀέρος καὶ πυρὸς ἐνεργείας, καὶ τῇ τούτων ἐγκράσει συμφύεται, καὶ συνδεῖται, ἐν ᾧ καὶ θαυμάζειν ἔπεισι τὴν τῆς φύσεως πρόνοιαν. περὶ γὰρ τὸ μέσον γιγνομένων τῶν μικτῶν σωματικῶς συμμίγνυται τὰ ἐν τῷ μέσῳ στοιχεῖα, τὰ δ᾽ ἄλλα πάρεισιν ἐγκαθιέντα τὰς οἰκείας ἐνεργείας, ἐκ δὲ τούτων ἔξεστι καὶ πρὸς ἡντιναοῦν ἔνστασιν ἀπαντῆσαι, ἃς ἡμεῖς παρεῶμεν τὸ προσκορὲς φεύγοντες τοῦ λόγου.

## ΚΕΦΑΛΑΙΟΝ, ΕΒΔΟΜΟΝ.

### Διαίρεσις τῶν τεττάρων ποιοτήτων.

ΠΟιοῦ δὲ ἄρα τοῦ κατὰ πάθος εἴδη τοσαῦτα, ὑποδιαιρεῖται δ᾽ ὅμως εἰς μέρη πλείω, ὧν ἔνια βραχέως ἐπιδράμωμεν. Πρῶτον μὲν οὖν πάντα ἐνδέχεται συγκεκριμένως, ἢ ἀφῃρημένως ἐννοεῖσθαι, ὧν τὸ μὲν ψιλὸν εἶδος ὑποφαίνει, τὸ δὲ ἅμα τῷ ὑποκειμένῳ. Δεύτερον τῶν ποιοτήτων ἑκάστη ἢ δυνάμει ἐνεῖναι λέγεται ἢ ἐνεργείᾳ, ὡς ἔστιν ἰδεῖν δευτέρῳ περὶ μερῶν ζώων κεφ. γ΄. πάλιν δὲ τὸ δυνάμει διχῶς λέγεται ἢ ὡς ποιητικόν, οἷον τῶν ἄστρων τὰ μὲν θερμὰ λέγεται, τὰ δὲ ψυχρά, τὰ δὲ ξηρὰ ἢ ὑγρά, ὅτι τὰς τοιαύτας ἀποτελοῦσι ποιότητας, τὸ δὲ ὡς ἐν ὕλης λόγῳ, δυνάμει γὰρ θερμὸν ἢ ξηρὸν λέγεται, ὅτι ἂν εἴη τούτων ἐπιδεκτικόν, τὸ δ᾽ αὖ ἐνεργείᾳ ἢ ἁπλῶς λέγεται ὡς ἐν τοῖς στοιχείοις ὑποτίθενται αἱ συστατικαὶ διαφοραί, ἢ πρὸς ἕτερον ὃ καὶ πολλαχῶς εὕρηται, ἢ γὰρ πρὸς ἅπαν τὸ τῶν μικτῶν ἀναφέρεται γένος, ἢ πρὸς τὰ ἐν τῷ αὐτῷ γένει ταττόμενα, ἢ πρὸς τὰ ὑπὸ τὸ αὐτὸ εἶδος. τὸ μὲν οὖν θερμὸν πρὸς τὰ μικτὰ πάντα λεγόμενον, τούτων ἁπάντων ὀ-